Nam ſi non eſt, quæ in materia ſunt, omnia corruptibilia ſunt. Quòd ſi eſt aliquid, ſpecies, & forma profectò fuerit. Hoc itaque, in quibus eſt, in quibúſve non eſt, difficile determinare eſt. In quibuſdam enim manifeſtum eſt non eſſe ſpeciem ſeparabilem, vtputa domo. Item, principia, vtrum ſpecie, an numero eadem ſint. Si enim numero vnum, omnia erunt eadem.

CAPVT III.

CVm autem philoſophi ſcientia ſit entis prout ens, vniuerſaliter, & non ſecundum partem, ens verò multipliciter, & non ſecundum vnum modum dicatur, ſi æquiuocè, & non ſecundum aliquid commune dicitur, non eſt ſub vna ſcientia. Talium enim non eſt vnum genus. Quòd ſi ſecundum aliquod commune, erit vtique ſub vna ſcientia. Videtur autem prædicto modo dici, quemadmodum medicatiuum, & ſalubre. Etenim vtrumque horum multipliciter dicitur. Dicitur nanque hoc modo vnumquodque eorum eo, quòd hoc quidem ad medicandi ſcientiam quodam modo referatur, hoc verò ad ſanitatem, hoc verò aliter, vnumquodque verò ad idem. Medicatiuus nanque ſermo, & cultellus, dicitur, eo quòd ille quidem à medicandi ſcientia, hic verò ei vtilis. Similiter & ſalubre: hoc enim, quia ſanitatis ſignificatiuum: hoc verò, quoniam factiuum. Idem autem modus, & de cæteris eſt. Eodem autem modo, & omne ens dicitur. Eo nanque, quòd entis prout ens eſt, paſſio, aut habitus, aut diſpoſitio, aut motus, aut aliquid huiuſcemodi ſit, dicitur ens vnumquodque eorum. Cùm autem omnis entis ad vnum quid, & commune reductio fiat, contrarietatum quoque ſingulæ ad primas differentias. & contrarietates entis reducentur, ſiue multitudo, & vnum, ſiue ſimilitudo, & diſſimilitudo primæ ſunt entis differentiæ, ſiue aliquæ aliæ: ſint autem hæ ſpeculatione perceptæ. Nihil autem intereſt, ad ens, vel ad vnum, entis reductionem fieri. Etenim ſi non idem, ſed aliud ſit, attamen conuertitur. Et ipſum enim vnum, quodammodo ens, & ipſum ens, vnum eſt. Cùm autem vnius & eiuſdem ſcientiæ ſit cuncta contraria ſpeculari, vnumquodque autem horum ſecundum priuationem dicatur (licet de quibuſdam, quorum aliquid intermedium eſt, quemadmodum iuſti, & iniuſti, dubitaret quiſpiam quonam modo ſecundum priuationem dicantur) circa hæc omnia ſanè priuatio ponenda non totius rationis, ſed vltimæ ſpeciei: vt-

A εἰ μὲν γὰρ μή, τά γε ἐν ὕλῃ φθαρτὰ πάντα. εἰ δ' ἔστι τι, τὸ εἶδος ἂν εἴη καὶ ἡ μορφή. τοῦτο οὖν ἐπὶ τίνων ἔστι, καὶ ἐπὶ τίνων οὔ, χαλεπὸν ἀφορίσαι· ἐπ' ἐνίων γὰρ δῆλον οὐκ ὂν χωριστὸν τὸ εἶδος, οἷον οἰκίας. ἔτι πότερον αἱ ἀρχαὶ εἴδει ἢ ἀριθμῷ αἱ αὐταί; εἰ γὰρ ἀριθμῷ ἕν, πάντ' ἔσται ταὐτά.

Κεφάλαιον γ.

B Ἐπεὶ δ' ἐστὶν ἡ τοῦ φιλοσόφου ἐπιστήμη τοῦ ὄντος ᾗ ὂν, καθόλου, καὶ οὐ κατὰ μέρος· τὸ δ' ὂν πολλαχῶς, καὶ οὐ καθ' ἕνα λέγεται τρόπον· εἰ μὲν ὁμωνύμως, κατὰ δὲ κοινὸν μηδὲν, οὐκ ἔστιν ὑπὸ μίαν ἐπιστήμην. οὐ γὰρ ἂν ἓν γένος τῶν τοιούτων. εἰ δὲ κατά τι κοινὸν, εἴη ἂν ὑπὸ μίαν ἐπιστήμην. ἔοικε δὴ τὸν εἰρημένον λέγεσθαι τρόπον, καθάπερ τό, τε ἰατρικὸν καὶ τὸ C ὑγιεινόν. καὶ γὰρ τούτων ἑκάτερον πολλαχῶς λεγόμενον. λέγεται δὲ τοῦτον τὸν τρόπον ἕκαστον, τῷ τὸ μὲν πρὸς ἰατρικὴν ἀνάγεσθαί πως, τὸ δὲ πρὸς ὑγίειαν, τὸ δ' ἄλλως, πρὸς ταὐτὸ δ' ἕκαστον. ἰατρικὸς γὰρ λόγος καὶ μαχαίριον λέγεται, τῷ τὸ μὲν ἀπὸ τῆς ἰατρικῆς ἐπιστήμης εἶναι, τὸ δὲ ταύτῃ χρήσιμον. ὁμοίως δὲ καὶ ὑγιεινόν. τὸ μὲν γὰρ ὅτι σημαντικὸν ὑγιείας, τὸ δ' ἔτι ποιητικόν. ὁ δ' αὐτὸς τρόπος καὶ ἐπὶ D τῶν λοιπῶν τὸν αὐτὸν δὴ τρόπον καὶ τὸ ὂν ἅπαν λέγεται. τῷ γὰρ τοῦ ὄντος ᾗ ὂν, πάθος ἢ ἕξις, ἢ διάθεσις, ἢ κίνησις, ἢ τῶν ἄλλων τι τῶν τοιούτων εἶναι, λέγεται ἕκαστον αὐτῶν ὄν. ἐπεὶ δὲ παντὸς τοῦ ὄντος πρὸς ἕν τι καὶ κοινὸν, ἡ ἀναγωγὴ γίγνεται· καὶ τῶν ἐναντιώσεων ἑκάστη πρὸς τὰς πρώτας διαφορὰς, καὶ τὰς ἐναντιώσεις ἀναχθήσεται τοῦ ὄντος, εἴτε E πλῆθος καὶ ἕν, εἴθ' ὁμοιότης καὶ ἀνομοιότης, αἱ πρῶται τοῦ ὄντος εἰσὶ διαφοραὶ, εἴτ' ἄλλαι τινές. ἔστωσαν γὰρ αὗται τεθεωρημέναι. διαφέρει δ' οὐδὲν τὴν τοῦ ὄντος ἀναγωγὴν πρὸς τὸ ὂν, ἢ πρὸς τὸ ἓν γίγνεσθαι. καὶ γὰρ εἰ μὴ ταὐτὸν, ἄλλο δ' ἐστὶν ἀντιστρέφει γε. τό, τε γὰρ ἓν καὶ ὄν πως· τό, τε ὂν, ἕν. ἐπεὶ δ' ἐστὶ τὰ ἐναντία πάντα τῆς αὐτῆς καὶ μιᾶς ἐπιστήμης θεωρῆσαι, λέγεται δ' ἕκαστον αὐτῶν κατὰ στέ- F ρησιν, καίτοι γ' ἔνια, ἀπορήσειέ τις ἂν, πῶς λέγεται κατὰ στέρησιν, ὧν ἐστιν ἀνὰ μέσον τι, καθάπερ ἀδίκου καὶ δικαίου. περὶ πάντα δὴ τὰ τοιαῦτα τὴν στέρησιν δεῖ τιθέναι, μὴ τοῦ ὅλου λόγου, τοῦ τελευταίου δὲ εἴδους· οἷον εἰ

ἔστιν ὃ